94

ματι παλαιὸν καθάρειον· ἐς μέσον ἦγεν καὶ διακα-
θῆς ἐκαλλώπιζεν· ὑπὸ δεξιότητα αὐτῇ περὶ πλάτων
ὅλων· καὶ διανοίας ἀκολουθούσας· ὥσπερ ἄκρας
τινὰς καὶ θεραπαίνας· δεῖ τοίνυν τῷ πλούτῳ καὶ
τὸ γῆρας ἐπεξεμένη· ἐθαύμασε μὲν οὖν αὐτὸν ἐ- 174
πὶ τούτοις καὶ ὁ θειότατος Ἰουλιανός, ἐθαύμασε
δὲ καὶ ὅσον ἀνθρώπινον· τῶν ἐν τοῖς λόγοις χαρίτων·
καὶ πλεῖστα γε αὐτοῦ περιφέρουσι βιβλία· καὶ ὁ
νοῦν ἔχων ἀναλεγόμενος· ἕκαστον αὐτῶν εἴσεται.
ἱκανὸς δὲ ἦν καὶ πολιτικοῖς ὁμιλῆσαι πράγμα-
σι καὶ παρὰ τοὺς λόγους ἐπέρα τινὰ συντολμῆσαι
καὶ ῥᾳδίους γνῶσαι προστρέχειν θεατρικωτέραν· τῶν
δὲ μετὰ ταῦτα βασιλέων καὶ τῷ ἀξιώματι τῶν τὸ
μέγιστον αὐτῶν προσθέντων· τὸν γὰρ τῆς αὐλῆς ἔπαρ-
χον μέχρι προσηγορίας ἔχειν ἐκέλευον· οὐκ ἐδέξα-
το φήσας τὸν σοφιστὴν εἶναι μείζονα· καὶ τοῦτο γε ἐστὶν
οὐκ ὀλίγος ἔπαινος ὅτι δόξης ἐλάττων ἀνήρ, μόνης
ἡττᾶτο τῆς περὶ τοὺς λόγους, τὴν δὲ ἄλλην δημώδη
καὶ βάναυσον ὑπελάμβανεν· ἀλλ᾽ ἐτελεύτησε καὶ οὗ-
τος ἐς γῆρας ἀφικόμενος μακρότατον καὶ θαῦμα οὐ-
κ ὀλίγον ἀπολιπὼν ἅπασιν:·

ἀκάκιος:·

ἀκάκιος:·

Παλαιστίνης καισάρεια, τὸν ἀκάκιον ἤνεγκε καὶ
ἦν λιβανίῳ κατὰ τοὺς αὐτοὺς χρόνους· τόνου δὲ σο-
φιστικοῦ καὶ πνεύματος εἴπερ τις ἄλλος γέμων· καὶ ἡ λέ-
ξις μετὰ κρότου πρὸς τὸ ἀρχαῖον ἐπεστρέφετο τό-
πον· συνανασχὼν δὲ λιβανίου κατέσεισε τὰ πρῶτα
καὶ περιῆν ἰσχυρῶς· βιβλίον γοῦν τῷ λιβανίῳ πε-
ρὶ εὐφυΐας τι γέγραπται πρὸς τὸν ἀκάκιον ἀπαινέ-
θημένῳ ἐν ᾧ δὲ χ᾽ ἐστὶν ἐπὶ τῷ κρατεῖ ἀθαιτομένῃ